Od.6.198 ἦ ῥα, καὶ ἀμφιπόλοισιν ἐϋπλοκάμοισι κέλευσε·
Od.6.199 "στῆτέ μοι ἀμφίπολοι· πόσε φεύγετε φῶτα ἰδοῦσαι;
Od.6.200 ἦ μή πού τινα δυσμενέων φάσθ´ ἔμμεναι ἀνδρῶν;
Od.6.201 οὐκ ἔσθ´ οὗτος ἀνὴρ διερὸς βροτὸς οὐδὲ γένηται,
Od.6.202 ὅς κεν Φαιήκων ἀνδρῶν ἐς γαῖαν ἵκηται
Od.6.203 δηϊοτῆτα φέρων· μάλα γὰρ φίλοι ἀ̱θανάτοισιν.
Od.6.204 οἰκέομεν δ´ ἀπάνευθε πολυκλύστῳ ἐνὶ πόντῳ,
Od.6.205 ἔσχατοι, οὐδέ τις ἄμμι βροτῶν ἐπιμίσγεται ἄλλος.
Od.6.206 ἀλλ´ ὅδε τις δύστηνος ἀλώμενος ἐνθάδ´ ἱκά̱νει,
Od.6.207 τὸν νῦν χρὴ κομέειν· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Od.6.208 ξεῖνοί τε πτωχοί τε, δόσις δ´ ὀλίγη τε φίλη τε.
Od.6.209 ἀλλὰ δότ´, ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε,
Od.6.210 λούσατέ τ´ ἐν ποταμῷ, ὅθ´ ἐπὶ σκέπας ἔστ´ ἀνέμοιο."
Od.6.211 ὣς ἔφαθ´, αἱ δ´ ἔσταν τε καὶ ἀλλήλῃσι κέλευσαν,
Od.6.212 κὰδ δ´ ἄρ´ Ὀδυσσέα εἷσαν ἐπὶ σκέπας, ὡς ἐκέλευσε
Od.6.213 Ναυσικάα̱, θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο·
Od.6.214 πὰρ δ´ ἄρα οἱ φᾶρός τε χιτῶνά τε εἵματ´ ἔθηκαν,
Od.6.215 δῶκαν δὲ χρυ̱σέῃ̱ ἐν ληκύθῳ ὑγρὸν ἔλαιον,
Od.6.216 ἤνωγον δ´ ἄρα μιν λοῦσθαι ποταμοῖο ῥοῇσι.
Od.6.217 δή ῥα τότ´ ἀμφιπόλοισι μετηύδα δῖος Ὀδυσσεύς·
Od.6.218 "ἀμφίπολοι, στῆθ´ οὕτω ἀπόπροθεν, ὄφρ´ ἐγὼ αὐτὸς
Od.6.219 ἅλμην ὤμοιϊν ἀπολούσομαι, ἀμφὶ δ´ ἐλαίῳ
Od.6.220 χρί̱σομαι· ἦ γὰρ δηρὸν ἀπὸ χροός ἐστιν ἀλοιφή.
Od.6.221 ἄντην δ´ οὐκ ἂν ἐγώ γε λοέσσομαι· αἰδέομαι γὰρ
Od.6.222 γυμνοῦσθαι κούρῃσιν ἐϋπλοκάμοισι μετελθών."
Od.6.223 ὣς ἔφαθ´, αἱ δ´ ἀπάνευθεν ἴσαν, εἶπον δ´ ἄρα κούρῃ.
Od.6.224 αὐτὰρ ὁ ἐκ ποταμοῦ χρόα νίζετο δῖος Ὀδυσσεὺς
Od.6.225 ἅλμην, ἥ οἱ νῶτα καὶ εὐρέας ἄμπεχεν ὤμους·
Od.6.226 ἐκ κεφαλῆς δ´ ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο.
Od.6.227 αὐτὰρ ἐπεὶ δὴ πάντα λοέσσατο καὶ λίπ´ ἄλειψεν,
Od.6.228 ἀμφὶ δὲ εἵματα ἕσσαθ´ ἅ οἱ πόρε παρθένος ἀδμής,
Od.6.229 τὸν μὲν Ἀθηναίη θῆκεν, Διὸς ἐκγεγαυῖα,
Od.6.230 μείζονά τ´ εἰσιδέειν καὶ πάσσονα, κὰδ δὲ κάρητος
Od.6.231 οὔλα̱ς ἧκε κόμα̱ς, ὑακινθίνῳ ἄνθει ὁμοίας.

Od.6.232 ὡς δ´ ὅτε τις χρυ̱σὸν περιχεύεται ἀργύρῳ ἀ̱νὴρ
Od.6.233 ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
Od.6.234 τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει,
Od.6.235 ὣς ἄρα τῷ κατέχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
Od.6.236 ἕζετ´ ἔπειτ´ ἀπάνευθε κιὼν ἐπὶ θῖνα θαλάσσης,
Od.6.237 κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη.
Od.6.238 δή ῥα τότ´ ἀμφιπόλοισιν ἐϋπλοκάμοισι μετηύδα·
Od.6.239 "κλῦτέ μοι, ἀμφίπολοι λευκώλενοι, ὄφρα τι εἴπω.
Od.6.240 οὐ πάντων ἀέκητι θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Od.6.241 Φαιήκεσσ´ ὅδ´ ἀνὴρ ἐπιμείξεται ἀντιθέοισι·
Od.6.242 πρόσθεν μὲν γὰρ δή μοι ἀεικέλιος δέατ´ εἶναι,
Od.6.243 νῦν δὲ θεοῖσιν ἔοικε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν.
Od.6.244 αἲ γὰρ ἐμοὶ τοιόσδε πόσις κεκλημένος εἴη
Od.6.245 ἐνθάδε ναιετάων, καί οἱ ἅδοι αὐτόθι μίμνειν.
Od.6.246 ἀλλὰ δότ´, ἀμφίπολοι, ξείνῳ βρῶσίν τε πόσιν τε."
Od.6.247 ὣς ἔφαθ´, αἱ δ´ ἄρα τῆς μάλα μὲν κλύον ἠδ´ ἐπίθοντο,
Od.6.248 πὰρ δ´ ἄρ´ Ὀδυσσῆϊ ἔθεσαν βρῶσίν τε πόσιν τε.
Od.6.249 ἦ τοι ὁ πῖνε καὶ ἦσθε πολύτλα̱ς δῖος Ὀδυσσεὺς
Od.6.250 ἁρπαλέως· δηρὸν γὰρ ἐδητύος ἦεν ἄπαστος.
Od.6.251 αὐτὰρ Ναυσικάα̱ λευκώλενος ἄλλ´ ἐνόησεν·
Od.6.252 εἵματ´ ἄρα πτύξα̱σα τίθει κα̱λῆς ἐπ´ ἀπήνης,
Od.6.253 ζεῦξε δ´ ὑφ´ ἡμιόνους κρατερώνυχας, ἂν δ´ ἔβη αὐτή.
Od.6.254 ὤτρυ̱νεν δ´ Ὀδυσῆα ἔπος τ´ ἔφατ´ ἔκ τ´ ὀνόμαζεν·
Od.6.255 "ὄρσεο νῦν, ὦ ξεῖνε, πόλινδ´ ἴμεν, ὄφρα σε πέμψω
Od.6.256 πατρὸς ἐμοῦ πρὸς δῶμα δαΐφρονος, ἔνθά σέ φημι
Od.6.257 πάντων Φαιήκων εἰδησέμεν, ὅσσοι ἄριστοι.
Od.6.258 ἀλλὰ μάλ´ ὧδ´ ἔρδειν· δοκέεις δέ μοι οὐκ ἀπινύσσειν·
Od.6.259 ὄφρ´ ἂν μέν κ´ ἀγροὺς ἴομεν καὶ ἔργ´ ἀνθρώπων,
Od.6.260 τόφρα σὺν ἀμφιπόλοισι μεθ´ ἡμιόνους καὶ ἄμαξαν
Od.6.261 καρπαλίμως ἔρχεσθαι· ἐγὼ δ´ ὁδὸν ἡγεμονεύσω.
Od.6.262 αὐτὰρ ἐπὴν πόλιος ἐπιβήομεν, ἣν πέρι πύργος
Od.6.263 ὑψηλός, κα̱λὸς δὲ λιμὴν ἑκάτερθε πόληος,
Od.6.264 λεπτὴ δ´ εἰσίθμη· νῆες δ´ ὁδὸν ἀμφιέλισσαι
Od.6.265 εἰρύαται· πᾶσιν γὰρ ἐπίστιόν ἐστιν ἑκάστῳ.

Od.6.266 ἔνθα δέ τέ σφ᾽ ἀγορὴ καλὸν Ποσιδήϊον ἀμφίς,
Od.6.267 ῥυτοῖσιν λάεσσι κατωρυχέεσσ᾽ ἀραρυῖα.
Od.6.268 ἔνθα δὲ νηῶν ὅπλα μελαινάων ἀλέγουσι,
Od.6.269 πείσματα καὶ σπεῖρας, καὶ ἀποξύνουσιν ἐρετμά.
Od.6.270 οὐ γὰρ Φαιήκεσσι μέλει βιὸς οὐδὲ φαρέτρη,
Od.6.271 ἀλλ᾽ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῗσαι,
Od.6.272 ᾗσιν ἀγαλλόμενοι πολιὴν περόωσι θάλασσαν.
Od.6.273 τῶν ἀλεείνω φῆμιν ἀδευκέα, μή τις ὀπίσσω
Od.6.274 μωμεύῃ· μάλα δ᾽ εἰσὶν ὑπερφίαλοι κατὰ δῆμον·
Od.6.275 καί νύ τις ὧδ᾽ εἴπῃσι κακώτερος ἀντιβολήσας·
Od.6.276 ‘τίς δ᾽ ὅδε Ναυσικάᾳ ἕπεται καλός τε μέγας τε
Od.6.277 ξεῖνος; ποῦ δέ μιν εὗρε; πόσις νύ οἱ ἔσσεται αὐτῇ.
Od.6.278 ἦ τινά που πλαγχθέντα κομίσσατο ἧς ἀπὸ νηὸς
Od.6.279 ἀνδρῶν τηλεδαπῶν, ἐπεὶ οὔ τινες ἐγγύθεν εἰσίν·
Od.6.280 ἤ τίς οἱ εὐξαμένῃ πολυάρητος θεὸς ἦλθεν
Od.6.281 οὐρανόθεν καταβάς, ἕξει δέ μιν ἤματα πάντα.
Od.6.282 βέλτερον, εἰ καὐτή περ ἐποιχομένη πόσιν εὗρεν
Od.6.283 ἄλλοθεν· ἦ γὰρ τούσδε γ᾽ ἀτιμάζει κατὰ δῆμον
Od.6.284 Φαίηκας, τοί μιν μνῶνται πολέες τε καὶ ἐσθλοί.’
Od.6.285 ὣς ἐρέουσιν, ἐμοὶ δέ κ᾽ ὀνείδεα ταῦτα γένοιτο.
Od.6.286 καὶ δ᾽ ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι,
Od.6.287 ἥ τ᾽ ἀέκητι φίλων πατρὸς καὶ μητρὸς ἐόντων
Od.6.288 ἀνδράσι μίσγηται πρίν γ᾽ ἀμφάδιον γάμον ἐλθεῖν. —
Od.6.289 ξεῖνε, σὺ δ᾽ ὦκ᾽ ἐμέθεν ξυνίει ἔπος, ὄφρα τάχιστα
Od.6.290 πομπῆς καὶ νόστοιο τύχῃς παρὰ πατρὸς ἐμοῖο.
Od.6.291 δήομεν ἀγλαὸν ἄλσος Ἀθήνης ἄγχι κελεύθου
Od.6.292 αἰγείρων, ἐν δὲ κρήνη νάει, ἀμφὶ δὲ λειμών·
Od.6.293 ἔνθα δὲ πατρὸς ἐμοῦ τέμενος τεθαλυῖά τ᾽ ἀλῳή,
Od.6.294 τόσσον ἀπὸ πτόλιος, ὅσσον τε γέγωνε βοήσας.
Od.6.295 ἔνθα καθεζόμενος μεῖναι χρόνον, εἰς ὅ κεν ἡμεῖς
Od.6.296 ἄστυδε ἔλθωμεν καὶ ἱκώμεθα δώματα πατρός.
Od.6.297 αὐτὰρ ἐπὴν ἥμεας ἔλπῃ ποτὶ δώματ᾽ ἀφῖχθαι,
Od.6.298 καὶ τότε Φαιήκων ἴμεν ἐς πόλιν ἠδ᾽ ἐρέεσθαι
Od.6.299 δώματα πατρὸς ἐμοῦ μεγαλήτορος Ἀλκινόοιο.

Od.6.300 ῥεῖα δ´ ἀρίγνωτ´ ἐστί, καὶ ἂν πάϊς ἡγήσαιτο
Od.6.301 νήπιος· οὐ μὲν γάρ τι ἐοικότα τοῖσι τέτυκται
Od.6.302 δώματα Φαιήκων, οἷος δόμος Ἀλκινόοιο
Od.6.303 ἥρως. ἀλλ´ ὁπότ´ ἄν σε δόμοι κεκύθωσι καὶ αὐλή,
Od.6.304 ὦκα μάλα μεγάροιο διελθέμεν, ὄφρ´ ἂν ἵκηαι
Od.6.305 μητέρ´ ἐμήν· ἡ δ´ ἧσται ἐπ´ ἐσχάρῃ ἐν πυρὸς αὐγῇ,
Od.6.306 ἠλάκατα στρωφῶσ´ ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι,
Od.6.307 κι̱ονι κεκλιμένη· δμῳαὶ δέ οἱ εἵατ´ ὄπισθεν.
Od.6.308 ἔνθα δὲ πατρὸς ἐμοῖο θρόνος ποτικέκλιται αὐτῇ,
Od.6.309 τῷ ὅ γε οἰνοποτάζει ἐφήμενος ἀ̱θάνατος ὥς.
Od.6.310 τὸν παραμειψάμενος μητρὸς περὶ γούνασι χεῖρας
Od.6.311 βάλλειν ἡμετέρης, ἵνα νόστιμον ἦμαρ ἴδηαι
Od.6.312 χαίρων καρπαλίμως, εἰ καὶ μάλα τηλόθεν ἐσσί.
Od.6.313 [εἴ κέν τοι κείνη γε φίλα φρονέῃσ´ ἐνὶ θυ̱μῷ,
Od.6.314 ἐλπωρή τοι ἔπειτα φίλους τ´ ἰδέειν καὶ ἱκέσθαι
Od.6.315 οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.]"
Od.6.316 ὣς ἄρα φωνήσα̱σ´ ἵμασεν μάστι̱γι φαεινῇ
Od.6.317 ἡμιόνους· αἱ δ´ ὦκα λίπον ποταμοῖο ῥέεθρα.
Od.6.318 αἱ δ´ εὖ μὲν τρώχων, εὖ δ´ ἐπλίσσοντο πόδεσσιν·
Od.6.319 ἡ δὲ μάλ´ ἡνιόχευεν, ὅπως ἅμ´ ἑποίατο πεζοὶ
Od.6.320 ἀμφίπολοί τ´ Ὀδυσεύς τε· νόῳ δ´ ἐπέβαλλεν ἱμάσθλην.
Od.6.321 δύ̱σετό τ´ ἠέλιος, καὶ τοὶ κλυτὸν ἄλσος ἵκοντο
Od.6.322 ἱ̱ρὸν Ἀθηναίης, ἵν´ ἄρ´ ἕζετο δῖος Ὀδυσσεύς.
Od.6.323 αὐτίκ´ ἔπειτ´ ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
Od.6.324 "κλῦθί μοι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυ̱τώνη·
Od.6.325 νῦν δή πέρ μευ ἄκουσον, ἐπεὶ πάρος οὔ ποτ´ ἄκουσας
Od.6.326 ῥαιομένου, ὅτε μ´ ἔρραιε κλυτὸς ἐννοσίγαιος.
Od.6.327 δός μ´ ἐς Φαίηκας φίλον ἐλθεῖν ἠδ´ ἐλεεινόν."
Od.6.328 ὣς ἔφατ´ εὐχόμενος, τοῦ δ´ ἔκλυε Παλλὰς Ἀθήνη·
Od.6.329 αὐτῷ δ´ οὔ πω φαίνετ´ ἐναντίη· αἴδετο γάρ ῥα
Od.6.330 πατροκασίγνητον· ὁ δ´ ἐπιζαφελῶς μενέαινεν
Od.6.331 ἀντιθέῳ Ὀδυσῆϊ πάρος ἣν γαῖαν ἱκέσθαι.